ἐν Νεμέαι κλεινο[ὶ β]ροτῶν
οἳ τριετεῖ ϲτεφάνωι
ξανθὰν ἐρέψωνται κόμαν.
Αὐτομήδει νῦν γε νικά-
ϲαντί νιν δαίμων ἔ[δ]ωκεν.

Β′ πενταέθˈλοιϲιν γὰρ ἐνέπˈρεπεν ὡϲ
ἄϲτρων διακˈρίνει φάη
νυκτὸϲ διχομηνίδοϲ εὐφεγγὴϲ ϲελάνα·
τοῖοϲ Ἑλλάνων δι᾽ ἀ̣[πεί]ρονα κύκˈλον
φαῖνε θαυμαϲτὸν δέμ̣αϲ,
διϲκὸν τροχοειδέα ῥίπτων,
καὶ μελαμφύλλου κλάδον
ἀκτέαϲ ἐϲ αἰπεινὰν προπέμπων
αἰθέρ᾽ ἐκ χειρὸϲ βοὰν ὤτρυνε λαῶν
ἢ τε[λε]υτάϲαϲ ἀμάρυγˈμα πάλαϲ·
τοιῶ[ιδ᾽ ὑπερθ]ύ̣μωι ϲ[θένε]ι̣
γυια[λκέα ϲώ]μ̣ατα [πρὸϲ γ]αίαι πελάϲϲα̣[ϲ
ἵκετ᾽ [Ἀϲωπὸ]ν πάρα πορφυροδίναν̣,
τοῦ κ[λέοϲ π]ᾶ̣ϲαν χθόνα
ἦλθε[ν καὶ] ἐπ᾽ ἔϲχατα Νείλου·
ταί τ᾽ ἐπ᾽ ε̣ὐ̣ναεῖ πόρωι